λόγος ἐν ἐλαχίστοις ἀριθμοῖς ὁ τοῦ Α πρὸς τὸν Β. δέδεικται
ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους
ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ
τετάχθωσαν δή. ὁ Α ἑαυτὸν πολλαπλασιάσας
τὸν Γ ποιείτω. τὸν δὲ Β πολλαπλασιάσας τὸν Δ
ποιείτω. καὶ ἔτι ὁ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε
ποιείτω. καὶ ἔτι ὁ Α τοὺς Γ Δ Ε πολλαπλασιάσας
τοὺς Ζ Η Θ ποιείτω. ὁ δὲ Β τὸν Ε πολλαπλασιάσας
τὸν Κ ποιείτω. καὶ ἐπεὶ ὁ Α ἑαυτὸν μὲν πολλαπλασι-
άσας τὸν Γ πεποίηκεν. τὸν δὲ Β πολλαπλασιάσας
τὸν Δ πεποίηκεν. ἀριθμὸς δὴ ὁ Α δύο τοὺς Α Β
πολλαπλασιάσας τοὺς Γ Δ πεποίηκεν. ἔστιν ἄρα
ὡς ὁ Α πρὸς τὸν Β. οὕτως ὁ Γ πρὸς τὸν Δ. πάλιν ἐπεὶ
ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ὁ
δὲ Β ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν.
ἑκάτερος ἄρα τῶν Α Β τὸν Β πολλαπλασιάσας
ἑκάτερον τῶν Δ Ε πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Α
πρὸς τὸν Β. οὕτως ὁ Δ πρὸς τὸν Ε. ἀλλ' ὡς ὁ Α πρὸς
τὸν Β. ὁ Γ πρὸς τὸν Δ. καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ. ὁ Δ
πρὸς τὸν Ε. καὶ ἐπεὶ ὁ Α τοὺς Γ Δ πολλαπλασιάσας
τοὺς Ζ Η πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν
Δ. οὕτως ὁ Ζ πρὸς τὸν Η. ὡς δὲ ὁ Γ πρὸς τὸν Δ. οὕ-
τως ἦν ὁ Α πρὸς τὸν Β. καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β. ὁ
Ζ πρὸς τὸν Η. πάλιν ἐπεὶ ὁ Α τοὺς Δ Ε πολλαπλασι-
άσας τοὺς Η Θ πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Δ
πρὸς τὸν Ε ὁ Η πρὸς τὸν Θ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ε ὁ Α

πρὸς τὸν Β. καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β. οὕτως ὁ Η πρὸς τὸν Θ.
ἔτι ἐπεὶ οἱ Α Β τὸν Ε πολλαπλασιάσαντες τοὺς Θ Κ πε-
ποιήκασιν. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β. ὁ Θ πρὸς τὸν
Κ. ἀλλ' ὡς ὁ Α πρὸς τὸν Β. οὕτως ὅ τε Ζ
πρὸς τὸν Η καὶ ὁ Η πρὸς τὸν Θ. καὶ ὡς ἄρα ὁ Ζ πρὸς τὸν Η
οὕτως ὁ Η πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ. οἱ Γ Δ Ε
ἄρα καὶ οἱ Ζ Η Θ Κ. ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Α πρὸς
τὸν Β λόγῳ. λέγω δὴ ὅτι καὶ ἐλάχιστοι. ἐπεὶ γὰρ οἱ Α Β ἐλά-
χιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. οἱ δὲ
ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων πρῶτοι
πρὸς ἀλλήλους εἰσίν, οἱ Α Β ἄρα πρῶτοι πρὸς ἀλ-
λήλους εἰσίν· καὶ ἑκάτερος μὲν τῶν Α Β ἑαυτὸν πολλα-
πλασιάσας, ἑκάτερον τῶν Γ Ε πεποίηκεν. ἑκάτε-
ρον δὲ τῶν Γ Ε πολλαπλασιάσας ἑκάτερον τῶν
Ζ Κ πεποίηκεν· οἱ Γ Ε
ἄρα καὶ οἱ Ζ Κ. πρῶτοι
πρὸς ἀλλήλους εἰσίν. ἐ-
ὰν δὲ ὦσιν ὁποσοιοῦν
ἀριθμοὶ ἑξῆς ἀνάλογον.
οἱ δὲ ἄκροι αὐτῶν πρῶ-
τοι πρὸς ἀλλήλους ὦσιν.
ἐλάχιστοί εἰσιν τῶν τὸν
αὐτὸν λόγον ἐχόντων αὐ-
τοῖς. οἱ Γ Δ Ε ἄρα καὶ οἱ
Ζ Η Θ Κ ἐλάχιστοί εἰσι τῶν

τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α Β. ὅπερ ἔδει δεῖξαι :~